# *ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΕΝΔΟΞΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΕΛΕΥΘΕΡΙΟΝ*

***Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.***

Ὁ Ἰερεὺς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Ψαλμὸς ΡΜΒ' (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου· ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σ,ου ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε· πρὸς Σὲ κατέφυγον · δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

καὶ εὐθύς ψάλλει ὁ χορός.

Ἦχος δ'.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

εἶτα τὰ παρόντα Τροπάρια.

***Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.***

Ὡς Ἱεράρχης καὶ στερρὸς Ἀθλοφόρος, καὶ πρεσβευτὴς ὑπὲρ ἡμῶν πρὸς τὸν Κτίστην, Ἱερομάρτυς Πάτερ Ἐλευθέριε, πάσης ἐλευθέρωσον,

προσβολῆς ἐναντίας, τοὺς πιστῶς προστρέχοντας, τῇ ἁγίᾳ Σου σκέπῃ, καὶ τῶν σωμάτων ἅμα καὶ ψυχῶν, πᾶσι χορήγει, ὑγείαν δεόμεθα.

***Δόξα... Τό Ἀπολυτίκιν τοῦ Ἁγίου.***
***Ἦχος πλ. α᾽ Τὸν συνάναρχον...***

Ἱερέων ποδήρει κατακοσμούμενος, καὶ αἱμάτων τοῖς ῥείθροις ἐπισταζόμενος, τῷ Δεσπότῃ σου Χριστῷ μάκαρ ἀνέδραμες, Ἐλευθέριε σοφέ, καθαιρέτα τοῦ Σατᾶν. Διὸ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

***Καὶ νῦν. Θεοτόκιον.***
***Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.***

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ἀναγνώστης (Χύμα).
Ψαλμὸς 50

Ἐλέησόν με, ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντὸς. Σοὶ μόνω ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὁ Κανὼν οὗ ἡ ἀκροστοιχίς.
***«Ἐλευθέριε ρύου ἡμᾶς κινδύνων. γερασίμου».***
***Ὠδὴ α᾽. Ἦχος Πλ. δ᾽. Ὑγρὰν διοδεύσας.***
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν πάσαις τοῦ βίου ἐπιφοραῖς, θερμὸν ἀρωγόν σε, κεκτημένοι παρὰ Θεοῦ, πάσης λυτρωθείημεν ἀνάγκης, τῇ σῇ πρεσβείᾳ σοφὲ Ἐλευθέριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λιτάνευσον Πάτερ εἰλικρινῶς, τὸν πάντων Δεσπότην, ὡς ἂν λύσιν τῶν δυσχερῶν, καὶ χάριν καὶ ἔλεος καὶ ρῶσιν, οἱ προσιόντες σοι εὕρωμεν ἄνωθεν.

Δόξα ...

Ἐπίκουρος ἔσο καὶ βοηθός, θερμότατος ρύστης, καὶ ὑπέρμαχος ἐν παντί, ἡμῖν Ἐλευθέριε παμμάκαρ, τοῖς εὐφημοῦσι τοὺς θείους ἀγῶνάς σου.

Καὶ νῦν... Θεοτόκιον

Ὑδάτων ἀΰλων ζωοποιῶν, γλυκύρροε κρήνη, Παντευλόγητε Μαριάμ, βλῦσον μετανοίας μοι τὰ ρεῖθρα, τῷ προσιόντι πιστῶς τῇ σῇ χάριτι.

***Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος.***

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θρασυνόμενον σφόδρα, τὸν δυσμενῆ δράκοντα, κατὰ τῶν πιστῶν ἱκετῶν σου, καὶ ὠρυόμενον, οἷά περ λέοντα, σύντριψον Πάτερ ὑψόθεν, τούτου τῆς κακώσεως, ἡμᾶς ρυόμενος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Εὐσπλαγχνίας τῆς θείας, τοὺς οἰκτιρμοὺς ἔνδοξε, εὐπαρρησιάστοις λιταῖς σου, ἡμῖν ὑπάνοιξον, ὡς συμπαθέστατος, καὶ τὸν κατώδυνον βίον, ἡμῶν μεταποίησον, τρόποις χρηστότητος.

Δόξα ...

Ρωστικῇ σου πρεσβείᾳ, τὰ τῶν ψυχῶν ἴασαι, καὶ τὰ τῶν σωμάτων παμμάκαρ, ἡμῶν ἀλγήματα, καὶ τὴν ζωὴν ἡμῶν, φόβῳ κυβέρνησον θείῳ, ὡς ἂν τῷ Παντάνακτι, σεμνῶς λατρεύσωμεν.

Καὶ νῦν... Θεοτόκιον

Ἱλαστήριον θεῖον, χρυσοειδὲς ἔμψυχον, ὤφθης σωματώσασα Κόρη, τὸν ἱλασμὸν ἡμῶν, Χριστὸν τὸν Κύριον· διὸ τοῖς σοὶ προσιοῦσιν, αἴτησαι τὴν ἄφεσιν, ὧν ἐξημάρτομεν.

Διάσωσον, ὦ Ἐλευθέριε θεῖε Ἱερομάρτυς, ἐκ παντοίων ὀδυνηρῶν περιστάσεων, τοὺς τῇ σεπτῇ σου προστρέχοντας προστασίᾳ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β' Τὰ ἄνω ζητῶν.

Πρεσβεύειν ἀεί, Χριστῷ τῷ Πανοικτίρμονι, ὡς Μάρτυς αὐτοῦ, καὶ λειτουργὸς εὐπρόσδεκτος, μὴ παύσῃ Ἐλευθέριε, ἵνα πάσης

ρυσθείημεν θλίψεως, καὶ εἰρηναίαν ἀνύωμεν ζωήν, οἱ μέγαν προστάτην σε πλουτήσαντες.

***ᾨδὴ δ' Εἰσακήκοα, Κύριε,***

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

ΕΠωδύνων συμπτώσεων, καὶ ἀνιαρῶν σκανδάλων καὶ θλίψεων, Ἐλευθέριε μακάριε, τους σοι ἀφορῶντας ἐλευθέρωσον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ρῶσιν θείαν πρυτάνευσον, τοῖς ἐν ἀσθενείας δειναῖς στενάζουσιν, εὐπραγίαν δὲ καὶ ἄνεσιν, τοῖς ἐν λυπηροῖς τοῦ βίου κάμνουσιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

ΥΠερτέρους ἀνάδειξον, ἐν τοῖς πειρασμοῖς ἡμᾶς Ἐλευθέριε, ὡς ἂν λύσιν κομισώμεθα, παρὰ τοῦ Χριστοῦ ὧν ἐσφαλόμεθα.

Δόξα ...

Οὐρανόθεν ἐπίβλεψον, ἴδε συνηγμένους πρὸ τῆς Εἰκόνος σου, ἡμᾶς ἤδη Ἐλευθέριε, καὶ παράσχου πᾶσι τά αἰτήματα.

Καὶ νῦν... Θεοτόκιον

Ὑψηλὸν ἐνδιαίτημα, τοῦ Ὑψίστου Λόγου καὶ Παντοκράτορος, τὸν πέσοντα νοῦν μου ὕψωσον, πρὸς ὑψώσεις Κόρη βίου κρείττονος.

***ᾨδὴ ε'. Φώτισον ἡμᾶς.***

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ηρεμον ἡμῶν, τὴν ζωὴν καὶ ἀστασίαστον, διατήρει Ἐλευθέριε σοφέ, ἐν εἰρήνῃ καὶ ἀγάπῃ καὶ σεμνότητι.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μάστιγι τῶν σῶν, θεοδέκτων παρακλήσεων, τὰ κυκλώσαντα ἡμᾶς πλεῖστα δεινά, διασκέδασον ἐν τάχει Ἐλευθέριε.

Δόξα ...

Αὔγασον ἡμῖν, σελασφόροις ἱκεσίαις σου, εὐφροσύνην καὶ χαρὰν τὴν ἀληθῆ, καὶ τὴν λύπην τῶν ψυχῶν ἡμῶν διάλυσον.

Καὶ νῦν... Θεοτόκιον

Σθένωσον Ἁγνή, τὴν ψυχήν μου ἀσθενήσασαν, ταῖς ποικίλαις προσβολαῖς τοῦ δυσμενοῦς, ἵνα τούτου κατισχύσω ὁ προστρέχων σοι.

***ᾨδὴ ς' .Τὴν δέησιν ἐκχεῶ .***

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Κατεύνασον, πειρασμῶν τὰ κύματα, τὰ χειμάζοντα ἡμᾶς ὀλεθρίως, καὶ πρὸς τὸν εὔδιον ὄντως λιμένα, τῶν τοῦ Θεοῦ θελημάτων κυβέρνησον, Ἱερομάρτυς Ἀθλητά, τοὺς τὴν σὴν ἐκζητοῦντας ἀντίληψιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ιάσεων, εἰληφὼς τὸ δώρημα, ὡς λαμπρὸς Ἱερομάρτυς Κυρίου, τὰ τῶν ψυχῶν ἡμῶν ἴασαι πάθη, καὶ τῶν σωμάτων τοὺς πόνους μετάβαλε, εἰς εὐρωστίαν ἀληθῆ, μυστικῇ ἐπισκέψει σου ἔνδοξε.

Δόξα ...

Νοσοῦσι μέν, ἰατὴρ πανάριστος, τοῖς δὲ πάσχουσι θερμός παρακλήτωρ, καὶ λυπουμένοις τερπνὴ θυμηδία, καὶ τεθλιμμένοις σεπτὸν παραμύθιον, ὦ Ἐλευθέριε γενοῦ, ὡς Χριστοῦ μιμητὴς γνησιώτατος.

Καὶ νῦν... Θεοτόκιον

Δοχεῖόν με, θεϊκῶν ἐλλάμψεων, θεοκόσμητε ναὲ τοῦ Σωτῆρος, Εὐλογημένε Παρθένε Μαρία, δὶ ἐμμελείας ἠθῶν τελειότητος, καὶ ἀρετῶν θεουργικῶν, τὸν πιστῶς σε ὑμνοῦντα ἀνάδειξον.

Διάσωσον ὦ Ἐλευθέριε θεῖε Ἱερομάρτυς, ἐκ παντοίων ὀδυνηρῶν περιστάσεων, τοὺς τῇ σεπτῇ σου προστρέχοντας προστασίᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β᾽ Προστασία τῶν Χριστιανῶν.

Ιεράρχα τοῦ Σωτῆρος ἐνθεώτατε, καὶ γενναῖε Ἀθλητὰ καὶ Μάρτυς ἀήττητε, μὴ παρίδῃς σῶν ἱκετῶν ἱκέσιον ᾠδήν, ἀλλὰ πρόσδεξαι ὡς εὐμενής, τὰς ἐν αἰτήσει προσφοράς, τῶν θερμῶς ἐκβοώντων σοι· Φύλαττε πάσης βλάβης, καὶ πάσης ἐχθρῶν μανίας, τοὺς αἰτουμένους σε πιστῶς, Ἐλευθέριε πανεύφημε.

Εἶτα τὸ α´ ἐκ τῶν τριῶν Ἀντιφῶνων τῶν Ἀναβαθμῶν τοῦ δ´ Ἤχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).

Δόξα Πατρὶ...

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχή ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν καὶ ἀεὶ...

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ὁ Ἱερεὺς: Καὶ ὑπερ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου...
Ὁ χορός: Κύριε, ἐλέησον (ἐκ γ´)
Ὁ Ἱερεὺς: Σοφία, ὀρθοί· ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.
Ὁ χορός: Καὶ τὸ πνεύματί σου.
Ὁ Ἱερεὺς: Ἐκ τοῦ κατὰ Μάρκον (β΄. 23-28 καὶ γ΄. 1-2) Ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα. Πρόσχωμεν.
Ὁ χορός: Δόξα σοι, Κύριε δόξα σοι.
Ὁ Ἱερεὺς:

Τῷ καιρῷ ἐκείνῳ ἐπορεύετο ὁ Ἰησοῦς τοῖς Σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ Μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν, τίλλοντες τοὺς στάχυας. καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ· Ἴδε, τι ποιοῦσιν ἐν τοῖς Σάββασιν, ὃ οὐκ ἔξεστι; Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· Οὐδέποτε ἀνέγνωτε τι ἐποίησε Δαβίδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπείνασαν αὐτὸς καὶ οἱ μετ᾽αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἐπὶ Ἀβιάθαρ τοῦ Ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν, εἰμὴ τοῖς Ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι; Καὶ ἔλεγεν αὐτοῖς· Τὸ Σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ Σάββατον· ὥστε κύριός ἐστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου· Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα· καὶ παρετήρουν αὐτόν, εἰ τοῖς Σάββασι θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ· Καὶ λέγει τῷ ἀνθρώπῳ, τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· Ἔγειραι εἰς τὸ μέσον. Καὶ λέγει αὐτοῖς· Ἔξεστι τοῖς Σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι; Οἱ δὲ ἐσιώπων. Καὶ περιβλεψάμενος αὐτοὺς μετ᾽ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ. Ἔκτεινον τὴν χεῖρά σου. Καὶ ἐξέτεινε· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιής, ὡς ἡ ἄλλη.

Ὁ χορός: Δόξα σοι, Κύριε δόξα σοι. καὶ εὐθὺς ψάλλει

Δόξα...

Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον.
Ἦχος Πλ. β΄ . Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Πάσαις κλονιζόμενοι, ἐπιβουλαῖς τοῦ βελίαρ, καὶ περιστατούμενοι, ταῖς ἐπιρρεούσαις θλίψεσιν ἡμᾶς Ἅγιε, τῇ σεπτῇ σκέπῃ σου, πίστει ἀδιστάκτῳ, καταφεύγομεν κραυγάζοντες· Πρόφθασον ἔνδοξε, καὶ τῶν θλιβερῶν περιστάσεων, ἀπάλλαξον δεόμεθα, τὴν πολυπαθῆ ἡμῶν ὕπαρξιν, καὶ τὸν πάντων Κτίστην, δυσώπει Ἐλευθέριε σοφέ, ἵνα τὸ πλούσιον ἔλεος, πέμψῃ ταῖς ψυχαῖς ἡμῶν.

Ὁ Ἱερεὺς: Σῶσον ὁ Θεός τὸν λαὸν σου...
Ὁ χορός: Κύριε, ἐλέησον (ἐκ ιβ΄)
Ὁ Ἱερεὺς: Ἐλέει καὶ οἰκτιρμοῖς...
Ὁ χορός: Ἀμήν.

### *ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπὸ πλήθους πταισμάτων, συνεσχέθημεν πλήθει βιοτικῶν συμφορῶν, ἀλλ' ὦ Ἱερομάρτυς, ἡ σὴ ἐπιστασία, προφθασάτω τοὺς δούλους σου, καὶ λυτρωσάσθω ἡμᾶς, τῶν νῦν παρενοχλούντων.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νεμομένη ἀθλίως, τὴν ζωὴν ἡμῶν πᾶσαν ἡ τῆς κακίας φορά, εἰς βάθη ἀθυμίας, ἡμῶν τὰς διανοίας, μεθιστᾷ βιαιότατα· σὺ οὖν ἡμᾶς ἐξελοῦ, τοιαύτης τυραννίδος.

Δόξα ...

Ὡς λαμπρὸς ὑποφήτης, τῆς ἐν Πνεύματι θείῳ ἐλευθερίας ψυχῶν, παθῶν τῶν ἀκαθέκτων, καὶ πόνων ἀνηκέστων, ἐλευθέρωσον ἅπαντας, ἱερομάρτυς Χριστοῦ, τοὺς σὲ παρακαλοῦντας.

Καὶ νῦν... Θεοτόκιον

Νᾶμα θεῖόν μοι βλῦσον, χαριτόβρυτε κρήνη θεουργικῶν δωρεῶν, δροσίζον τὴν ψυχήν μου, τὴν καταφλεγομένην, τῆς κακίας τοῖς ἄνθραξιν, ἵνα ὑμνῶ σε ἀεί, Ὑπερδεδοξασμένη.

### *ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Γνώμῃ εὐθείᾳ, ἐν ἀληθεῖ μετανοίᾳ, πολιτεύεσθαι ἱκάνωσον παμμάκαρ, ὡς Ἱερομάρτυς, τοὺς σὲ ὑμνολογοῦντας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐλευθερίαν, τῆς ἐν ἡμῖν ἁμαρτίας, καὶ ἀπάλλαξιν πάσης κακοπραγίας, πρεσβευε δοθῆναι, τοῖς σὲ ὑμνολογοῦσι.

Δόξα ...

Ῥῦσαί με γλώσσης, δολιοτρόπων ἀνθρώπων, καὶ στενώσεων παντοδαπῶν ἐν βίῳ, ἵνα σὲ γεραίρω, σοφὲ Ἱερομάρτυς.

Καὶ νῦν... Θεοτόκιον

Ἀγγέλων δόξα, ὦ Ὑπερένδοξε Κόρη, ἀδοξίας με παθῶν τῶν ἀκαθάρτων, κάθαροντοῖς ρείθροις, τῆς σῆς ἀγαθωσύνης.

### *ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σωμάτων ἀρρωστίας, καὶ ψυχῶν τὰ βάρη, τῇ δεδομένῃ σοι χάριτι σκέδασον, τῶν τὴν σὴν κλῆσιν φωνούντων ὦ Ἐλευθέριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱλέωσαι παμμάκαρ, τοῖς σοὶ προσιοῦσι, τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Κύριον, ὡς ἄν τῆς τούτου χρηστότητος ἀπολαύσωμεν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μὴ παύσῃ ἐποπτεύων, καὶ φρουρῶν καὶ σκέπων, καὶ τῶν ἐν βίῳ δεινῶν ἐξαιρούμενος, τοὺς σὲ θερμὸν ἀντιλήπτορα εὐμοιρήσαντας.

Δόξα ...

Ὁρμαῖς ἀκατασχέτοις, πρὸς τὴν ἁμαρτίαν, κατολισθήσας Θεοῦ ἀπεμάκρυνα, ἀλλὰ σύ με πανεύφημε ἐπανάγαγε.

Καὶ νῦν... Θεοτόκιον

Ὑπέρφωτε λυχνία, τοῦ ἀδύτου φέγγους, τὴν σκοτισθεῖσαν ψυχήν μου καταύγασον, ὅπως φωτὶ τοῦ Κυρίου Κόρη πορεύσωμαι.

***Μεγαλυνάρια***

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Πνεύματος ἁγίου ἀπὸ παιδός, πλήρης χρηματίσας, Ἐλευθέριε ἱερέ, τῆς ἐλευθερίας, τῆς ἐν Χριστῷ ἐκφάντωρ, τοῖς δουλωθεῖσιν ὤφθης, φθόνῳ τοῦ ὄφεως.

Ἄνθος τῆς Ἀνθίας τῆς εὐκλεοῦς, πανεύοσμον ὤφθης,γεωργίᾳ ἠθῶν σεμνῶν, καὶ τοῦ Ἀνικήτου, τοῦ ἱεροῦ φυτεία, καρποφορήσας Πάτερ, τὰ ὑπὲρ ἔννοιαν.

Χαίροις Ἐκκλησίας βάσις στερρά, καὶ παθῶν Κυρίου, ἀφομοίωμα καὶ εἰκών· χαίροις ὁ βραβεύων, δεινῶν ἐλευθερίαν, τοῖς σὲ παρακαλοῦσιν ὦ Ἐλευθέριε.

Ἄμωμον θυσίαν καὶ μυστικήν, θύων τῷ Σωτῆρι, ὥσπερ θεῖος ἱερουργός, αὐτῷ προσηνέχθης, καθάπερ ἱερεῖον, νομίμως ἐναθλήσας, ὦ Ἐλευθέριε.

Ἤνεγκας βασάνους τὰς χαλεπάς, ἐν τῇ σῇ ἀθλήσει, δι᾽ἀγάπην τοῦ Ἰησοῦ· ὅθεν τὰς ὀδύνας, ἡμῶν ἀεὶ κουφίζεις, τῇ σῇ ἐπιστασίᾳ ὡς ἱερώτατος.

Φύλαττε ἀτρώτους ταῖς σαῖς εὐχαῖς, ἐκ παντὸς σκανδάλου, καὶ ἁπάσης ἐπιβουλῆς, τοῦ δεινοῦ βελίαρ, καὶ νόσων καὶ κινδύνων, τοὺς σὲ ὑμνολογοῦντας ὦ Ἐλευθέριε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον

Αγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ’)

Δόξα... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταὶς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοίς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὧς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὧς καὶ ἡμεῖς ἀφίεμεν τοὶς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥύσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

Ὁ Ἰερεὺς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

***Καὶ τὸ τροπάριον. Ἦχος πλ. α’ Τὸν συνάναρχον...***

Ἱερέων ποδήρει κατακοσμούμενος, καὶ αἱμάτων τοῖς ῥείθροις ἐπισταζόμενος, τῷ Δεσπότῃ σου Χριστῷ μάκαρ ἀνέδραμες, Ἐλευθέριε σοφέ, καθαιρέτα τοῦ Σατᾶν. Διὸ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

Ἐν τῇ ἀπολύσει τὸ παρόν.

Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου

Πάσης ἐπηρείας καὶ ὀργῆς, βλάβης καὶ παντοίας ἀνάγκης, καὶ περιστάσεως, πάντας ἐλευθέρωσον, Ἱερομάρτυς Χριστοῦ, Ἐλευθέριε ἔνδοξε, τοὺς ἐξαιτουμένους, τὴν θερμὴν ἀντίληψιν, τῆς προστασίας σου· σὺ γὰρ βοηθὸς Ὀρθοδόξοις, καὶ τοῖς κινδυνεύουσι ῥύστης, πρὸς Θεοῦ ἐδόθης ἱερώτατε.

Ἦχος πλ. δ΄

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β’.

Τήν πάσαν ἐλπίδαν μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ Ἰερεὺς: Δι’εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.
Ὁ χορός: Ἀμήν.

Δίστιχον

Παθῶν παντίων ἐλεύθερόν με δεῖξον
Γεράσιμον παμμάκαρ σοὶ προσιόντα.